# ACTA CONCILIORVM OECVMENICORVM

IVSSV ATQVE MANDATO

SOCIETATIS SCIENTIARVM
ARGENTORATENSIS

EDIDIT

EDVARDVS SCHWARTZ

TOMVS ALTER
VOLVMEN PRIMVM
PARS PRIMA

MDCCCCXXXIII

WALTER DE GRUYTER & CO.

VORMALS G. J. GÖSCHEN'SCHE VERLAGSHANDLUNG / J. GUTTENTAG, VERLAGS-
BUCHHANDLUNG / GEORG REIMER / KARL J. TRÜBNER / VEIT & COMP.

BEROLINI ET LIPSIAE

αὐτὴν αἰτίαν , ἐπειδὴ μετὰ τοῦ ἁγιωτάτου Φλαβιανοῦ τῆι συμφωνίαι τῆς πίστεως τῆς καθολικῆς συνέτρεχον, ἐξορίαι ὑπεβλήθησαν, ἐπανελθεῖν διὰ κυρώσεως ἰδίου πραγματικοῦ προσέταξεν, ὥστε διὰ τῆς δοκιμασίας τῆς συνόδου πάντων τῶν ἐπισκόπων τῶν συνελθόντων καὶ τῆς ἀποφάσεως τὴν ἐπισκοπὴν καὶ τὰς ἰδίας ἐκκλησίας κριθῶσιν ἀπολαβεῖν.

**10** Νικηταὶ Οὐαλεντινιανὸς καὶ Μαρκιανὸς ἔνδοξοι τροπαιοῦχοι ἀεὶ βασιλεῖς Λέοντι τῶι εὐλαβεστάτωι ἐπισκόπωι τῆς ἐνδόξου πόλεως Ῥώμης. Εἰς τοῦτο τὸ μέγιστον βασίλειον ἦλθον θεοῦ προνοίαι καὶ ἐπιλογῆι τῆς ὑπερφυοῦς συγκλήτου καὶ παντὸς τοῦ στρατοῦ, ὅθεν ὑπὲρ τῆς εὐλαβοῦς καὶ καθολικῆς θρησκείας τῆς πίστεως τῶν Χριστιανῶν, οὗτινος τῆι βοηθείαι τοῦ ἡμετέρου κράτους πεποίθαμεν ἰθύνεσθαι τὴν δύναμιν, τὴν [τε] σὴν ἁγιωσύνην ἐπισκοπεύουσαν καὶ ἄρχουσαν τῆς θείας πίστεως ἱεροῖς γράμμασιν ἐν πρώτοις δίκαιον ἡγησάμεθα προσειπεῖν, προτρεπόμενοι καὶ παρακαλοῦντες ἵνα ὑπὲρ ἑδραιότητος καὶ στάσεως τοῦ ἡμετέρου βασιλείου τὴν αἰώνιον θειότητα ἡ σὴ ἱκετεύοι ὁσιότης διὰ τὸ καὶ τὴν ἡμετέραν πρόθεσιν καὶ τὸν πόθον τοιοῦτον ὑπάρχειν ὥστε πάσης ἀσεβοῦς πλάνης ἀποκινηθείσης διὰ τῆς συγκροτηθείσης ταύτης συνόδου σοῦ αὐθεντοῦντος μεγίστη εἰρήνη περὶ πάντας τοὺς ἐπισκόπους τῆς καθολικῆς πίστεως ὑπαρχθείη παντὸς μύσους καθαρὰ καὶ ἄσπιλος γενομένη.

a. 450 Ἐπράχθη ἐν Κωνσταντινουπόλει ἐν ὑπατείαι τοῦ δεσπότου ἡμῶν Οὐαλεντινιανοῦ τοῦ αἰωνίου αὐγούστου τὸ ἕβδομον καὶ Ἀβιίνου τῶν ὑπάτων.

**11** 1 Τῶι ἀγαπητῶι ἀδελφῶι Φλαβιανῶι Λέων [ἐπίσκοπος Ῥώμης]. Ἀναγνόντες τὰ γράμματα τῆς ἀγάπης τῆς σῆς, ἅπερ οὕτω βραδύτατα γεγενῆσθαι θαυμάζομεν,

10 textus Latinus extat in Epist. ante Gesta Coll. 27 6/7 Marcianus augustus leuatus est d. 24. siue 25. m. Aug. 450, cf. Chron. Pasch. p. 590

11 Eadem uersio iterum extat in Gestorum actione 3, 22. Latinum exemplar editum est in Collectione Nouariensi de re Eutychis 5 [uol. II 1 p. 24—33]

MpS$\Phi^{cr}$

5 ἐπιστολὴ οὐαλεντίνου καὶ μαρκιανοῦ τῶν βασιλέων πρὸσ λέοντα τὸν ἐπίσκοπον ῥώμησ S in mg. 7 καί$^2$ om. S 9 τε MpS Φ, uitium antiquissimum 14 σοῦ om. MpS, corr. M 16 μίσουσ p 17 τοῦ δεσπότου om. p

MpS, M$^1$ [= Gestorum in actione III], B [ibidem], HXp$^1$ NJWRVUZ, K [= dlu], Timoth.$^1$ [cod. Mus. Brit. add. 12156 f. 42b—48b]

inscr. deest Mpp$^1$K$^d$ ἐπιστολὴ λέοντοσ ἐπισκόπου ῥώμησ πρὸσ φλαβιανόν S$^{mg}$ ἐπιστολὴ ἐγκύκλιοσ ἤγουν συνοδικὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ῥώμησ λέοντοσ γραφεῖσα πρὸσ φλαβιανὸν ἀρχιεπίσκοπον κωνσταντινουπολεωσ M$^1$ ἴσον ἐπιστολῆσ γραφείσησ τῶ ἐν ἁγίοισ φλαβιανῶ ἐπισκόπω κωνσταντινουπόλεωσ παρὰ λέοντοσ ἀρχιεπισκόπου ῥώμησ B ἐπιστολὴ τοῦ μακαρίου λέοντοσ τοῦ τῆσ μεγάλησ ἀρχιεπισκόπου ῥώμησ πρὸσ φλαυιανὸν ἁγιώτατον ἀρχιεπίσκοπον κωνσταντινουπόλεωσ [in mg. ἡ προσαγορευομένη στήλη X] HX ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρασ ῥώμησ λέοντοσ γραφεῖσα πρὸς τὸν ἁγιώτατον ἐπίσκοπον κωνσταντινουπόλεωσ φλαβιανὸν κατὰ εὐτυχοῦσ καὶ διοσκόρου ἥνπερ ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδοσ στήλην ὀρθοδοξίασ ὠνόμασεν J ἐπιστολὴ τοῦ ἐν ἁγίοισ πρσ ἡμῶν λέοντοσ πάπα ῥώμησ γραφεῖσα πρὸσ τὸν ἐν ἁγίοισ φλαβιανὸν πατριάρχην κωνσταντινουπόλεωσ κατὰ εὐτυχοῦσ αἱρεσιάρχου ἡ ὀνομασθεῖσα παρὰ τῆς ἁγίασ τετάρτησ συνόδου στήλη ὀρθοδοξίασ W λέοντοσ τοῦ ἐν ἁγίοισ ἐπισκόπου ῥώμησ πρὸσ φλαβιανὸν τὸν ὁσιώτατον ἐπίσκοπον κωνσταντινουπόλεωσ κατὰ εὐτυχοῦσ τοῦ ἐν βεβήλοισ περὶ τῆσ ἑνώσεως τῶν δύο φύσεων τῆσ υἱκῆσ ὑποστάσεωσ καὶ τῆσ ἑκατέρασ αὐτῶν ἐν τῇ οἰκείᾳ ἰδιότητι τιμῆσ N ἐπιστολὴ λέοντοσ ἐπισκόπου ῥώμησ πρὸσ φλαυινὸν ἐπίσκοπον κωνσταντινουπόλεωσ R τοῦ μακαριωτάτου πάπα λέοντοσ τῆσ πρεσβυτέρασ ῥώμησ τοῦ μεγάλου [τοῦ μεγάλου om. U] ἐπιστολὴ δογματικὴ πεμφθεῖσα πρὸσ τὸν ἐν ἁγίοις φλαβιανὸν ἀρχιεπίσκοπον κωνσταντινουπόλεως κατὰ εὐτυχοῦσ τοῦ ματαιόφρονοσ καὶ τῶν αὐτοῦ ὁμοφρόνων [τῶν σὺν αὐτῶ U] VUZ ἐπιστολὴ γραφεῖσα πρὸσ τὸν ἐν ἁγίοισ ἀρχιεπίσκοπον [ἐπίσκοπον K$^l$] κωνσταντινουπόλεωσ φλαβιανὸν παρὰ τοῦ ἐν ἁγίοισ πάπα λέοντοσ ῥώμησ K$^{lu}$

19 Τῶι — Ῥώμης om. RVUZ ἀγαπητῶι ἀδελφῶι] ἁγιωτάτω [ἀγαπητῶι Tim.$^1$] ἀδελφῶ καὶ συλλειτουργῶ K$^{lu}$ Tim.$^1$ ἐπίσκοπος ῥώμησ Mp$^1$JK$^d$ om. pSM$^1$BHXNK$^{lu}$ Tim.$^1$ ἐν κῶ χαίρειν W 20 τῆσ σῆσ ἀγάπησ K$^{lu}$ τῆσ σῆσ p εὑρηκότεσ θαυμάζομεν N

καὶ τῆι τάξει τῶν ὑπομνημάτων ἐγκύψαντες, ἥτις ἐπὶ τῶν ἐπισκόπων ἐπράχθη, μόλις
ποτὲ τί τὸ παρ' ὑμῖν σκάνδαλον ἀνεφύη κατὰ τῆς ὑγιοῦς πίστεως, ἔγνωμεν καὶ τὰ πρό-
τερον λεληθέναι δοκοῦντα νῦν ἡμῖν δῆλα γεγένηται. δι' ὧν Εὐτυχὴς ὃς τῆι τοῦ πρεσ-
βυτέρου προσηγορίαι τιμῆς εἶναι ἄξιος νομισθεὶς πολύ τις ἀσύνετος καὶ λίαν ἀμαθὴς PL 758
ἀποδείκνυται, ὡς περὶ αὐτοῦ καὶ τὸ τοῦ προφήτου εἰρῆσθαι· οὐκ ἠβουλήθη συνιέναι Ps. 35, 4
τοῦ ἀγαθῦναι· ἀδικίαν ἐμελέτησεν ἐπὶ τῆς κοίτης αὐτοῦ. τί δ' ἂν ἀδι-
κώτερον εἴη τοῦ τὰ ἀσεβῆ φρονεῖν καὶ τοῖς εὖ φρονοῦσιν καὶ σοφωτέροις μὴ εἴκειν; εἰς
τὴν ἄνοιαν δὲ ταύτην ἐμπίπτουσιν οἱ κατά τι μὲν ἐμπόδιον ἀσαφείας γνῶναι τὸ ἀληθὲς
κωλυόμενοι, οὐκ ἐπὶ τὰς προφητικὰς δὲ φωνάς, οὐκ ἐπὶ τὰς τῶν ἀποστόλων γραφάς,
οὐκ ἐπὶ τὰς εὐαγγελικὰς αὐθεντίας, ἀλλ' ἐφ' ἑαυτοὺς ἀνατρέχοντες καὶ διὰ τοῦτο διδάσκαλοι
πλάνης ἀναδεικνύμενοι, ἐπειδὴ τῆς ἀληθείας μαθηταὶ μὴ γεγόνασιν. ποίαν γὰρ
ἀπὸ τῶν θείων βίβλων παιδείαν τῆς τε παλαιᾶς καὶ καινῆς διαθήκης προσέλαβεν ὃς
οὐδὲ αὐτοῦ τοῦ συμβόλου τῶν προοιμίων ἐδράξατο; καὶ ὅπερ ἀνὰ πᾶσαν τὴν οἰκου-
μένην τῆι φωνῆι πάντων τῶν ἀναγεννωμένων προφέρεται, τοῦτο κατὰ νοῦν ἔτι τούτου
2 τοῦ γέροντος οὐ λαμβάνεται; ἀγνοῶν τοίνυν τί δέοι περὶ τῆς ἐνανθρωπήσεως τοῦ
θεοῦ λόγου νοεῖν, καὶ τῶν θείων γραφῶν ἐν τῶι πλάτει πονεῖν οὐ βουλόμενος ὅπως ἂν
τοῦ φωτὸς τῆς ἐντεῦθεν γνώσεως ἄξιος γένηται, ἐκείνην γοῦν ὤφειλεν τὴν κοινὴν καὶ
μὴ διαφωνοῦσαν ὁμολογίαν ἐν ἀκροάσει περιμερίμνωι ποιήσασθαι, ἣν τῶν πιστῶν ἅπαν
τὸ πλῆθος ὁμολογεῖ, πιστεύειν ἑαυτὸν εἰς θεὸν πατέρα παντοκράτορα καὶ εἰς Χριστὸν
Ἰησοῦν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν κύριον ἡμῶν, τὸν τεχθέντα ἐκ πνεύματος ἁγίου
καὶ Μαρίας τῆς παρθένου, δι' ὧν τριῶν ἀποφάσεων τὰ πάντων σχεδὸν αἱρετικῶν κατα-
λύεται μηχανήματα. ὁπότε γὰρ θεὸς καὶ παντοκράτωρ καὶ πατὴρ εἶναι πιστεύεται,
συναίδιος αὐτῶι καὶ ὁ υἱὸς ἀποδείκνυται, ἐν οὐδενὶ τοῦ πατρὸς διαφέρων, ἐπειδήπερ
ἐκ θεοῦ θεός, ἐκ παντοκράτορος παντοκράτωρ, ἐξ αἰδίου γεννηθεὶς συναίδιος, οὐ μετα- PL 760
γενέστερος χρόνωι, οὐκ ἐλάσσων δυνάμει, οὐκ ἀνόμοιος δόξηι, οὐ κεχωρισμένος οὐσίαι.
ὁ δὲ αὐτὸς τοῦ αἰδίου πατρὸς μονογενὴς ἀίδιος ἐτέχθη ἐκ πνεύματος ἁγίου καὶ Μαρίας
τῆς παρθένου, ἥτις γέννησις χρονικὴ τῆς θείας αὐτοῦ καὶ ἀιδίου γεννήσεως οὔτε τι ἀπε-
μείωσεν οὔτε μήν τι ταύτηι προσέθηκεν, ἀλλ' ὅλην ἑαυτὴν εἰς τὸ σῶσαι τὸν ἄνθρωπον
πεπλανημένον ἐκένωσεν, ἵνα καὶ τὸν θάνατον νικήσηι καὶ τὸν διάβολον τὸν τὸ κράτος Hebr. 2, 14
ἔχοντα τοῦ θανάτου τῆι οἰκείαι καταβάληι δυνάμει. οὐδὲ γὰρ ἂν ἠδυνήθημεν νικῆσαι

MpSM$^1$BHXp$^1$NJWRVUZ, K [= dl, m inde a 17 κοινὴν, u], Tim.$^1$

1 πράξει M$^1$BRK$^{lu}$ ἐκκύψαντεσ HX ὑπὸ p$^1$ 2 τί om. M$^1$R τὸ om. p$^1$UK ἡμῖν X ἀναφυὲν M$^1$NK$^{lu}$ Tim.$^1$ ἐγνώκαμεν p$^1$ ἀνέγνωμεν Tim.$^1$ τὰ om. Z 3 λελυθέναι M$^1$U ὃς] ὡσ NK$^{lu}$ ὁ M$^1$Bp$^1$N$^{corr}$ K$^d$ om. p conflatae sunt uersiones ὃς ἐνομίσθη et νομισθείς τῆσ M$^1$p$^1$K$^{du}$ τις K$^l$ 4 προσηγορίασ τιμῆσ p$^1$K$^d$ προσηγορίασ καὶ τιμῆσ M$^1$K$^{lu}$ εἶναι ἄξιοσ MpSNVUZ τε καὶ ἀξίασ ἄξιοσ p$^1$K$^d$ ἄξιοσ M$^1$BHXWRK$^{lu}$ ἄξιοσ εἶναι J ἀμαθὴσ λίαν M$^1$ 5 ἀνα-δείκνυται ZK$^{lu}$ ἐβουλήθη M$^1$U 6 ἀνομίαν p$^1$K$^d$ ἐλογίσατο WR 8 ἄγνοιαν Tim.$^1$ 9 οὐκ — φωνάς om. p$^1$ δὲ om. VUZ οὐκ$^2$ — γραφάς om. M$^1$ 10 κατατρέχουσιν K$^{lu}$ 11 ἀπο-δεικνύμενοι H γενόμενοι B ἀναδείκνυνται K$^{lu}$ μὴ om. p γεγένηνται M$^1$ 12 βιβλίων BNWRU γραφῶν K$^l$ 13 τοῦ προοιμίου τοῦ συμβόλου M$^1$K$^{lu}$ προοιμίων] μυστηρίων V 13/14 τὴν οἰκουμένην om. K$^{lu}$ 14 προσφέρεται p$^1$K$^d$ ἐπὶ M$^1$BHXNR τούτου om. W 15 τοῦ om. K$^l$ ἀγνοὸν τονυν K$^l$ ἀγνωσία νοσῶν τὸν νοῦν K$^u$ τοίνυν ἀγνοῶν N 18 ὁμολογίαν ἣν δέον ἦν αὐτὸν K$^l$ ὁμολογίαν δέον ἣν αὐτῷ K$^u$ ἀκροάσει] περισπουδάστω ἀκροάσει K$^{lu}$ περι μέριμναν ποιήσασθαι R μεριμνοποιήσασθαι K$^u$ πιστῶν] πλειστων R 18/19 ἅπαν τὸ πλῆθοσ τῶν πιστῶν N 19 αὐτὸν pSHp$^1$NK$^{dlu}$ ἑαυτὸ Z om. W ἕνα θν̄ N ἕνα χ̄ν̄ N 20 τὸν μο-νογενῆ αὐτοῦ ῡν̄ K$^u$ τὸν αὐτοῦ μονογενῆ K$^l$ 21 παρθένου καὶ εἰσ τὸ πν̄α τὸ ἅγιον N σχε-δὸν τὰ πάντων K$^{lu}$ πάντα p$^1$K$^d$ τῶν αἱρετικῶν VUK$^m$ 22 καὶ πατὴρ καὶ παντοκράτωρ HXp$^1$ καὶ$^2$] ὁ W 23 ὁ om. Z ἀναδείκνυται B 24 συναίδιος] ἀίδιοσ K$^{lu}$ υἱὸσ B οὔτε MJVUZ 25 χρόνου pS ἐλάττων HX ἐλάσσω K$^u$ 26 ἠδίου K$^l$ ἀίδιοσ υἱὸσ N ἐκ πν̄σ ἐτέχθη B 27 γεννήσεως] φύσεωσ K$^{lu}$ Tim.$^1$ τι om. K$^m$ 28 τι om. M$^1$ ὅλον ἑαυτὸν K$^u$ 28/29 ἐκένωσεν εἰς τὸ σῶσαι τὸν πεπλανημένον ἄν̄ο̄ν̄ K$^u$ 30 καταβάλη τῇ οἰκεία M$^1$ δυνάμει καταβάλη N οὐ Z ἐδυνήθημεν M$^1$K$^l$

τῆς ἁμαρτίας καὶ τοῦ θανάτου τὸν ἀρχηγόν, εἰ μὴ τὴν ἡμετέραν αὐτὸς φύσιν ἀνέλαβεν
καὶ οἰκείαν εἰργάσατο, ὃν οὔτε ἁμαρτία μολῦναι οὔτε θάνατος κατασχεῖν ἠδυνήθη. συν-
ελήφθη μὲν οὖν δηλονότι ἐκ πνεύματος ἁγίου ἐν γαστρὶ παρθένου μητρός, ἥτις οὕτω φυλα-
χθείσης τῆς παρθενίας αὐτὸν ἀπεκύησεν, ὥσπερ οὖν καὶ ἀκεραίου μεινάσης τῆς παρθενίας
συνέλαβεν. ἀλλ' εἴπερ ἐκ ταύτης τινὰ τῆς ἐν τῆι πίστει τῶν Χριστιανῶν εὐαγεστάτης
πηγῆς καθαρὰν ἀρύσασθαι διάνοιαν οὐκ ἠδύνατο διὰ τὸ τῆς τηλαυγοῦς ἀληθείας αὐτὸν
ἑαυτῶι τὸ φέγγος ἐκ τῆς οἰκείας ἐπισκοτίζειν τυφλώσεως, τῆι διδασκαλίαι γοῦν τῆι τῶν
Mt. 1, 1 εὐαγγελίων ἑαυτὸν ὑπήγαγεν ἂν καὶ λέγοντος Ματθαίου βίβλος γενέσεως Ἰησοῦ
Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Ἀβραὰμ καὶ τοῦ ἀποστολικοῦ δὲ κηρύγματος τὴν
Rom. 1, 1—3 εἰσήγησιν ἂν ἐπεζήτησεν καὶ ἀναγινώσκων ἐν τῆι ἐπιστολῆι τῆι πρὸς Ῥωμαίους Παῦλος
δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος ἀφωρισμένος εἰς εὐαγγέλιον
PL 762 θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις
περὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα
ἐπὶ τὰς προφητικὰς οὕτως ἂν βίβλους τὴν εὐσεβῆ φροντίδα μετήγαγεν, καὶ εὑρίσκων
Gen. 22, 18 τὴν ἐπαγγελίαν τοῦ θεοῦ πρὸς τὸν Ἀβραὰμ λέγοντος ἐν τῶι σπέρματί σου ἐνευλο-
γηθήσονται πάντα τὰ ἔθνη, ὅπως ἂν περὶ τῆς κυριότητος τούτου μὴ ἀμφιβάλληι τοῦ
Gal. 3, 16 σπέρματος, ἠκολούθησεν ἂν καὶ τῶι ἀποστόλωι λέγοντι τῶι Ἀβραὰμ ἐρρέθησαν
αἱ ἐπαγγελίαι καὶ τῶι σπέρματι αὐτοῦ. οὐκ εἶπεν· καὶ τοῖς σπέρμασιν,
ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός· καὶ τῶι σπέρματί σου, ὅπερ ἐστὶν Χριστός,
Ies. 7, 14 καὶ τὸ Ἡσαίου δὲ κήρυγμα διὰ τῆς ἐνδοτέρας κατέσχεν ἂν ἀκροάσεως λέγοντος ἰδοὺ
ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱὸν καὶ καλέσουσιν τὸ ὄνομα
Mt. 1, 23 αὐτοῦ Ἐμμανουήλ, ὅπερ ἐστὶν μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ θεός, καὶ
Ies 9, 6 τοῦ αὐτοῦ δὲ προφήτου πιστῶς ἂν ὑπανέγνω τὰ ῥήματα παιδίον ἐγεννήθη ἡμῖν,
υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ καλέσουσιν
τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θεὸς ἰσχυρός, ἐξουσιαστής,
ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος, οὐδὲ ματαίως λαλῶν οὕτως
ἂν εἶπεν σάρκα γεγενῆσθαι τὸν λόγον, ὡς ὅτιπερ ὁ τεχθεὶς ἀπὸ τῆς παρθένου
Χριστὸς εἶχεν μὲν ἀνθρώπου μορφήν, οὐκ εἶχεν δὲ τοῦ μητρώιου σώματος τὴν ἀλήθειαν.
ἢ τάχα διὰ τοῦτο τὸν δεσπότην Χριστὸν οὐκ εἶναι τῆς ἡμετέρας ἐνόμισεν φύσεως, ὅτι

---

MpSM$^1$BHXp$^1$NJWRVUZ, K [= dlmu], Tim.$^1$

1 φύσιν αὐτὸσ UK$^{lu}$ ἐν ἑαυτῶ φύσιν p$^1$K$^d$ 2 μολύνεται p$^1$K$^d$ ἐδυνήθη M$^1$ ἠδύνατο R 3 τῆσ παρθένου M$^1$NK$^m$ μητρός] μαρίασ M$^1$K$^{lmu}$ 4 παρθενίασ [παρθένου K$^{lu}$] αὐτὸν M$^1$p$^1$RK$^{dlu}$ 5 τινὰ om. M$^{corr}$JK$^{lu}$ 5/6 εὐαγεστάτην πηγὴν K$^m$ 6 καθαρὰν τινὰ [τὴν K$^u$] διάνοιαν ἀρύσασθαι K$^{lu}$ διάνοιαν οὗτος ὁ γέρων N μὴ K$^{lu}$ ἐδύνατο M$^1$K$^{lu}$ 6/7 αὐτὸν — οἰκείας] φέγγοσ ἐκ τῆσ οἰκείασ ἑαυτοῦ [τοῦ ἑαυτὸν K$^l$] K$^{lu}$ 6 αὐτὸν] ἀδύνατον VUZ 7 ἐν ἑαυτῶ p$^1$K$^d$ ἐπισκοτίζει MVZK$^m$, corr. MK$^m$ οὖν VZ τε U τῆι om. M$^1$N 8 ἑαυτὸν om. M$^1$K$^u$ ὑπήγαγεν ἂν ἑαυτὸν BW ἐπήγαγεν M$^1$X καὶ om. p$^1$K$^d$ τοῦ ματθαίου WR 9 δὲ om. U 10 ἐξήγησιν pSB ἔκθεσιν HX ἂν om. K$^{lu}$ ἐζήτησε S καὶ om. Bp$^1$K$^d$ ἀναγνοὺσ M$^1$ τῆ ἐπιστολῆ πρὸσ ῥωμαίουσ MJVUK$^m$, corr. K$^m$ τῆ πρὸσ ῥωμαίουσ ἐπιστολῆ SZ τοὺσ ῥωμαίουσ R 12 αὐτοῦ om. W ἐν — ἁγίαις] ἁγίων Tim.$^1$ 13 γεννομένου K$^l$ γεναμένου K$^u$ τὸ om. M$^1$Bp$^1$NWRK$^{dlu}$ 14 καὶ ἐπὶ B Tim.$^1$ ἔπειτα Z οὗτοσ ὂν pSV οὕτωσ M$^1$U ἂν p$^1$K$^d$ ἂν οὕτωσ K$^{lu}$ ἂν (βίβλουσ) οὕτω J ἐπήγαγεν K$^{lu}$ 15 τὸν om. V 15/16 ἐνευλογηθήσεται HX εὐλογιθήσωνται K$^u$ 16 τούτου] τοῦ K$^l$ αὐτοῦ Z om. K$^u$ ἀμφιβάλλη M$^1$Xp$^1$RVZK$^d$ ἀμφιβάλλοι BK$^{lu}$ ἀμφιβάλοι N 17 ἂν om. K$^u$ καὶ om. NVU τῶ δὲ M$^1$HXNZK$^{lmu}$ ἐρέθησαν U ἐρρήθησαν BWZ ἠρέθησαν K$^d$ 18/19 οὐκ — σπέρματί σου om. J 19 πολλοῖσ VUZ ἐν ἑνὶ pSM$^1$R ἑνὶ VUZK$^m$ καὶ — σου om. K$^d$ ὅ ἐστιν ὁ M$^1$ τουτέστιν K$^{lu}$ 20 δὲ om. U ἀκροάσεως κατέσχεν ἂν M$^1$ ἂν om. VUZK$^{lmu}$ 21 ἕξει M$^1$p$^1$K$^{dlu}$ 22 ὅ M$^1$B μεθερμηνευόμενον om. K$^{lu}$ 23 ἂν om. V προέγνω Z ῥήματα ὅτι K$^{lu}$ 24 καλεῖται M$^1$HXp$^1$NVK$^{dlu}$ Tim.$^1$ 25 αὐτοῦ ἐμμανουὴλ p$^{corr}$ ἄγγελοσ θαυμαστὸσ σύμβουλοσ HXp$^1$K$^d$ 26 τοῦ om. R οὐδὲ] ὁ δὲ pS, M$^1$ ex corr. 27 ὁ τεχθεὶσ ὁ S ἐκ N 28 δὲ om. U μητρώιου] ἡμετέρου K$^{lu}$ 29 εἰ U διὰ τοῦτο om. S ὅτι] ἐπειδήπερ K$^{lu}$

πρὸς τὴν μακαρίαν Μαρίαν ὁ πεμφθεὶς ἄγγελος εἶπεν πνεῦμα ἅγιον ἐπελεύσεται Lc. 1, 35
ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, δι' ὃ καὶ τὸ γεννώμενον ἐκ
σοῦ ἅγιον κληθήσεται υἱὸς θεοῦ, ὅπως ἂν ἐπειδήπερ ἡ σύλληψις τῆς παρθένου PG 764
θείας ἔργον γεγένηται δημιουργίας, ἐκ τῆς φύσεως τῆς συλλαβούσης ἡ σὰρξ τοῦ συλλη-
φθέντος μὴ γένηται; ἀλλ' οὐχ οὕτως νοητέον ἐκείνην τὴν γέννησιν, ἥτις μονογενῶς ἐστιν
θαυμαστὴ καὶ θαυμαστῶς ἐστιν μονογενής, ὥστε διὰ τοῦ καινοπρεποῦς τῆς γεννήσεως τὴν
τοῦ γένους ἐκβάλλεσθαι κυριότητα. τὸ μὲν γὰρ γόνιμον τῆι παρθένωι τὸ ἅγιον πνεῦμα
παρέσχεν, ἡ δὲ τοῦ σώματος ἀλήθεια προσελήφθη ἐκ σώματος, καὶ τῆς σοφίας οἰκοδο- Prou. 9, 1
μούσης ἑαυτῆι οἶκον ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τουτέστιν Ioh. 1, 14
ἐν τούτωι τῶι σώματι ὅπερ ἔλαβεν ἐξ ἀνθρώπου καὶ ὃ πνεύματι ζωῆς λογικῆς ἐνεψύ-
3 χωσεν. σωιζομένης τοίνυν τῆς ἰδιότητος ἑκατέρας φύσεως καὶ εἰς ἓν πρόσωπον συνιούσης
ἀνελήφθη ἀπὸ μὲν τῆς θεότητος ἡ ταπεινότης, ἀπὸ δὲ τῆς δυνάμεως τὸ ἀδύνατον, ἀπὸ
τοῦ ἀθανάτου τὸ θνητόν, καὶ πρὸς τὸ τὸ χρεωστούμενον ὄφλημα τῆς ἡμετέρας φύσεως
ἐκτιθῆναι ἡ θεία φύσις ἡνώθη τῆι φύσει τῆι παθητῆι, ἵνα τοῦτο δὴ τὸ ταῖς ἡμετέραις
ἰάσεσιν ὑπάρχον ἁρμόδιον, ὁ εἷς καὶ ὁ αὐτὸς ὢν μεσίτης θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος 1 Tim. 2, 5
Χριστὸς Ἰησοῦς καὶ ἀποθνήισκειν ἐκ τοῦ ἑνὸς δυνηθῆι καὶ τελευτᾶν ἐκ τοῦ ἑτέρου μὴ δυνηθῆι.
ἐν ἀκεραίαι τοιγαροῦν ἀληθοῦς ἀνθρώπου καὶ τελείαι τῆι φύσει θεὸς ἀληθὴς ἐτέχθη, ὅλος
ἐν τοῖς ἑαυτοῦ καὶ ὅλος ἐν τοῖς ἡμῶν. ἡμέτερα δὲ λέγομεν ἅπερ ἡμῖν ἐξ ἀρχῆς ὁ δημιουρ-
γὸς ἐναπέθετο καὶ ἅπερ ἀνακαινιστέα πάλιν ἐδέξατο· ἐκεῖνα γὰρ ἅπερ ὁ ἀπατεὼν ἐπει-
σήγαγεν καὶ ὁ ἀπατηθεὶς ἄνθρωπος ἥμαρτεν, τὸ τυχὸν ἐπὶ τοῦ σωτῆρος ἴχνος οὐκ ἔσχηκεν.
οὐδὲ ἐπειδὴ κοινωνίαν τῆς ἀνθρωπίνης ὑπεισελήλυθεν ἀσθενείας, διὰ τοῦτο καὶ κοινωνὸς
τῶν ἡμετέρων γέγονεν ἁμαρτημάτων. προσέλαβεν γὰρ δούλου μορφὴν δίχα ῥύπου PG 766
τινὸς ἁμαρτήματος, καὶ τὸ ἀνθρώπινον αὔξων καὶ τὸ θεῖον οὐ μειῶν, ἐπειδήπερ ἡ κένωσις
ἐκείνη δι' ἧς ἑαυτὸν ὁ ἀόρατος ὁρατὸν παρεσκεύασεν καὶ ὁ ποιητὴς καὶ δεσπότης τῶν
ὅλων εἷς τῶν ἀνθρώπων ἠβουλήθη γενέσθαι, συγκατάβασις ἦν εὐσπλαγχνίας, οὐκ
ἀσθένεια τῆς δυνάμεως. τοιγαροῦν ὃς μένων ἐν μορφῆι θεοῦ πεποίηκεν ἄνθρωπον,
αὐτὸς ἐν μορφῆι δούλου γέγονεν ἄνθρωπος· φυλάττει γὰρ ἑκατέρα φύσις ἀνελλιπῶς

13—16 καὶ πρὸς—δυνηθῆι adferuntur in Gest. Chalced. 3, 24

MpSM$^1$BHX, p$^1$ [inde a 14 ἡνώθη P$^1$], NJWRVUZ, K [= dlmu], Tim.$^1$, Timoth.$^2$ arm. syr. [27 φυλάττει — p. 14. 2 ἐμείωσεν]

1 μακαρίαν om. VUK$^m$ Μαρίαν om. Z 2 σοὶ R γενόμενον Z 2/3 ἐκ σοῦ om. M$^1$ 3 ἅγιοσ K$^u$ 4 γεγέννηται p$^1$RK$^d$ γένηται VK$^l$ 5 οὐχ om. U 6 καὶ θαυμαστὴ καὶ Z ὁ μονογενὴσ pS τῆσ καινοπρεποῦσ γεννήσεωσ Z 7 γένουσ in μονογενοῦσ corr. M, J τεκεῖν τὴν παρθένον [τῆ παρθένω K$^l$ ex corr.] γόνημον K$^{lu}$ 8 παρέσχηκεν RK$^{lu}$ ἐξ αὐτοῦ προσελήφθη τοῦ σώματοσ JK$^{lu}$, ex corr. MK$^m$ 9 αὐτῆ U ἑαυτῶ J τουτέστιν om. p$^1$K$^d$ 10 τῶ σώματι τούτω K$^u$ ἀνῶν U Μαρίας Tim.$^2$ arm. ὃ om. MJVUZK$^{lmu}$, corr. K$^m$ πνᾶ K$^{lu}$ 10/11 ἐψύχωσε U 11 τῆς om. p$^1$K$^d$ συντρεχούσησ N 12 ὑπὸ p$^1$NK$^d$ θεώσεωσ p$^1$K$^d$ ὑπὸ p$^1$NK$^d$ δὲ] μὲν pV om. N ὑπὸ p$^1$NK$^d$ ἀπὸ δὲ pSHXVUK$^{lu}$ Tim.$^1$ καὶ ἀπὸ Tim.$^2$ arm. 13 θανάτου p$^1$RVUZK$^{dlu}$ τὸ om. V τὸ τὸ pSM$^1$B, K$^m$ ex corr. τῶ τὸ MHXNJp$^1$RK$^d$ τὸ WVUZK$^{lmu}$ 14 ἐκτισθῆναι MpSM$^1$JWR κτισθῆναι HX ἐκτεθῆναι V om. K$^{lu}$ δὴ τοῦτο U τὸ om. B 15 ὁ om. M$^1$N ὁ om. MpSXP$^1$JWVUK$^d$, corr. X ἄνθρωπος om. U 16 ἰσ χσ BJ δυνηθῆ ἐκ τοῦ ἑνὸσ H δυνηθείη K$^{lu}$ δυνηθείη K$^{lu}$ 17 ἀκεραίω HXK$^{lu}$ ἀληθηνοῦ ἀνοῦ K$^{lu}$ ἀληθῶσ ἀνοῦ M$^1$BHXP$^1$WRZK$^d$ ἀνοῦ ἀληθῶσ N τῆι om. BW ἀληθεινὸσ K$^{lu}$ ἀληθῶσ M$^1$ ἐπεδείχθη B 18 ἑαυτῶ U ἡμετέρασ K$^{lu}$ ὅσαπερ MJ ἐν ἡμῖν MJRZK$^m$, corr. K$^m$ 18/19 ἐναπέθετο ὁ δημιουργὸς B 19 καὶ om. MJ ἃ R om. ZK$^{lu}$ 20 καὶ ἅπερ K$^{lu}$ οὐδὲ τὸ τυχὸν — ἴχνοσ ἔσχηκεν N 21 κοινωνία HX ἀνθρωπείασ P$^1$ZK$^d$ ἐπεισελήλυθεν V ἀσθενείας] προνοίασ V 22 τῶν om. R γέγονε τῶν ἡμετέρων M$^1$N 23 ἡ κένωσις om. Z 24 ὁ ἀόρατος ἑαυτὸν ὁρατὸν K$^{lu}$ ἑαυτὸν ὁρατὸν ὁ ἀόρατοσ P$^1$K$^d$ κατεσκεύασε U καὶ$^1$ om. Z τε καὶ Z 25 εὐσπλαγχνία MVUZ, corr. M 26 τῆς om. P$^1$ ὡσ HXN 27 αὐτὸς] ἑαυτὸν Tim.$^1$ ἄνθρωπος om. MJVUZ γὰρ] δὲ Tim.$^1$ Tim.$^2$ syr. ἐν ἑκατέρα φύσει U

τὴν ἑαυτῆς ἰδιότητα καὶ ὥσπερ οὐκ ἀναιρεῖ τὴν τοῦ δούλου μορφὴν ἡ μορφὴ τοῦ θεοῦ, οὕτως τὴν τοῦ θεοῦ μορφὴν ἡ τοῦ δούλου μόρφωσις οὐκ ἐμείωσεν. ἐπειδὴ γὰρ κατεκαυχᾶτο ὁ διάβολος τὸν ἄνθρωπον τὸν ἠπατημένον ἐκ τῆς πλάνης αὐτοῦ τῶν θείων δωρεῶν ἐστερημένον καὶ τῶν τῆς ἀφθαρσίας ἀγαθῶν γεγυμνωμένον ὑπὸ τὴν τοῦ θανάτου χαλεπὴν ἀπόφασιν γεγενῆσθαι καὶ ἐν τοῖς ἰδίοις κακοῖς παραμυθίαν αὐτὸν εὑρηκέναι τινὰ ἐκ τῆς αὐτοῦ τοῦ γεγονότος προδότου κοινωνίας, ὡς καὶ τὸν θεόν, τοῦτο τῆς αὐτοῦ δικαιοσύνης ἀπαιτούσης, ἀμεῖψαι περὶ τὸν ἄνθρωπον τὴν οἰκείαν ἀπόφασιν, ὃν τοσαύτηι τιμῆι κατεσκεύασεν, χρεία τῆς οἰκονομίας τοῦ ἀπορρήτου μυστηρίου γεγένηται, ἵνα ὁ ἀναλλοίωτος θεός, οὗτινος ἡ βούλησις τῆς ἐμφύτου χρηστότητος στερηθῆναι μὴ δύναται, πρώτην περὶ ἡμᾶς τὴν τῆς οἰκείας εὐσεβείας ἀπορρήτωι μυστηρίωι πληρώσηι διοίκησιν καὶ ἵνα ὁ ἄνθρωπος ὁ τῆι κακουργίαι τῆς διαβολικῆς κακίας πρὸς ἁμαρτίαν συνελαθεὶς
4 μὴ παρὰ βούλησιν ἀπόληται τοῦ θεοῦ. προέρχεται τοίνυν εἰς τὸ ταπεινὸν τοῦτο τοῦ κόσμου ὁ υἱὸς τοῦ θεοῦ ἀπὸ τοῦ οὐρανίου θρόνου καταβαίνων καὶ ἀπὸ τῆς πατρικῆς δόξης οὐκ ἀφιστάμενος καινῆι τινι τάξει καὶ καινῆι τῆι γεννήσει γεννώμενος, καινῆι μὲν τῆι τάξει, ὅτιπερ ἀόρατος ὢν ἐν τοῖς ἑαυτοῦ ὁρατὸς γέγονεν ἐν τοῖς παρ' ἡμῖν καὶ ἀκατά-
PG 768 ληπτος ὢν ἠβουλήθη καταλαμβάνεσθαι καὶ προαιώνιος μένων εἶναι ἤρξατο ἀπὸ χρόνου καὶ τοῦ παντὸς ὢν δεσπότης τὴν δουλικὴν μορφὴν ἀνεδέξατο τῆς οἰκείας θεότητος ἐπισκιάσας τὸ μέγεθος καὶ ὁ ἀπαθὴς θεὸς οὐκ ἀπηξίωσεν παθητὸς εἶναι ἄνθρωπος καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου· καινῆι δὲ τῆι γεννήσει τεχθείς, ἐπείπερ ἡ ἄχραντος παρθενία ἐπιθυμίαν μὲν ἠγνόησεν, τὴν δὲ τῆς σαρκὸς ἐχορήγησεν ὕλην. καὶ προσελήφθη ἐκ τῆς μητρὸς τοῦ δεσπότου φύσις, οὐχ ἁμαρτία· οὐ μὴν ἐπειδήπερ ἐν τῶι δεσπότηι Ἰησοῦ Χριστῶι τῶι τεχθέντι ἐκ τῆς γαστρὸς τῆς παρθένου θαυμαστή τίς ἐστιν ἡ γέννησις, διὰ τοῦτο ἡμῖν οὐχ ἡ φύσις ὁμοία. ὁ γὰρ ὢν θεὸς ἀληθὴς αὐτός ἐστιν καὶ ἄνθρωπος ἀληθής. καὶ ψεῦδος οὐδὲν ἐν ταύτηι τῆι ἑνώσει τυγχάνει, ἐν ὅσωι τὰ συναμφότερα μετ' ἀλλήλων ἐστίν, καὶ τοῦ ἀνθρώπου τὸ ταπεινὸν καὶ τὸ μέγεθος τῆς θεότητος. ὥσπερ γὰρ τῶι ἐλεεῖν ὁ θεὸς τροπὴν οὐχ ὑφίσταται, οὕτως ὁ ἄνθρωπος τῶι μεγέθει τῆς θείας ἀξίας οὐκ ἀναλίσκεται. ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔσχηκεν, τοῦ μὲν λόγου κατεργαζομένου τοῦθ' ὅπερ ἐστὶν τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶν τοῦ σώματος, καὶ τὸ μὲν αὐτῶν διαλάμπει τοῖς θαύ-

---

M, p [usque ad 27 θατέρου], P [inde a 27 κοινωνίασ], $SM^1BHXP^1$ NJWRVUZ, K[= dlmu], $Tim.^1$, $Tim.^2$ arm. syr. [24 ἐν ὅσωι — 15, 1 ὑποπέπτωκεν]

2 οὕτωσ οὐδὲ τὴν μορφὴν τοῦ θῦ $MpSJVUZK^m$ οὕτω καὶ R $τοῦ^1$ om. $K^u$ μορφὴ $NK^{lu}$ οὐκ del. $K^m$ ἐκένωσεν HX 2/3 καὶ ἐκαυχᾶτο $K^{lu}$ 3 τὸ τὸν $M^1K^l$, $K^m$ ex corr. $τὸν^2$ del. $K^m$ ἠπατημένον] κτησάμενον X τῆς] τῆς οἰκείασ $K^{lu}$ ἑαυτοῦ MpSJ 4 γεγυμνῶσθαι καὶ $K^{lu}$, $K^m$ ex corr. 5 ἑαυτὸν [ἑαυτῶι $Tim.^1$] ἐν τοῖς οἰκείοισ κακοῖσ παραμυθίαν [μὴ ins. $Tim.^1$] εὑρηκέναι $K^{lu}$ $Tim.^1$ ηὑρηκέναι MpSHJR 6 κοινωνίασ γενομένησ $K^{lu}$ 6/7 τῆς — δικαιοσύνης τοῦτο N 7 τὴν — ἀπόφασιν om. $K^{lu}$ ὃν ἐν $M^1R$ ὃν τῇ BW 8 χρεία γέγωνε τῆσ — μυστηρίου ἵνα $K^{lu}$ τοῦ — μυστηρίου τῆσ οἰκονομίασ B ἀπορρήτου] τοιούτου $Tim.^1$ 9 δύνηται VU 10 πρῶτον N πρὸσ τὴν $K^{lu}$ εὐσεβείας om. MpSJVUZ 11 συνελασθεὶσ HXR 12 τοίνυν προέρχεται N προσέρχεται MpSXJ, corr. M τὸ — τοῦτο] τὰ ἔσχατα $K^{lu}$ τοῦτο] τοῦτου R 13 ἀπὸ om. $M^1$ πατρικῆς] οὐρανίας $Tim.^1$ 14 μὴ $K^{lu}$ om. $K^d$ χωριζόμενοσ $K^{lu}$ τινι] τῇ $MpSJK^m$ om. $K^u$ καὶ om. B γενόμενοσ $XZK^u$ 15 ἐν om. $K^{lu}$ ἡμῶν B 16 ἐβουλήθη $M^1$ μένων] ὢν $K^l$ ὂν $K^u$ ἤρξατο εἶναι V ἀπὸ χρόνου ἤρξατο N ἀπὸ τοῦ χρόνου B ὑπὸ χρόνου $P^1K^d$ 17 μένων B τὴν om. $K^{lu}$ ἐδέξατο B 18 ὁ om. U εἶναι παθητὸσ N παθητὸς γενέσθαι $BP^1WK^d$ ὁ] ὢν $K^{lu}$ 19 νόμοις om. $K^{lu}$ θανάτω $K^{lu}$ ἐπειδήπερ $M^1$ 20 παρθένοσ B 21 ἡ τοῦ δεσπότου $M^1BWK^{mu}$ τοῦ δεσπότου ἡ U 22 τῆσ παρθένου γαστρὸσ BW 23 οὐχ ἡ φύσισ ἡμῖν [ἡμῶν $K^{du}$] $P^1K^{dlu}$ ὁ αὐτὸσ RJ 24 τῇ ἑνώσει ταύτῃ $K^{lu}$ ἑνώσει] γεννήσει HX ἐστὶ τυγχάνει V καθέστηκεν $K^{lu}$ 25 ἡ ταπεινότισ τοῦ ανοῦ $K^{lu}$ 26 τῶι — $ὁ^1$ om. $K^{lu}$ ἐν τῷ N τοῦ V οὕτωσ καὶ $K^{lu}$ 28 ἔσχεν HX 29 ὅπερ $M^1K^{lu}$ $Tim.^2$ arm. αὐτοῦ WR om. $Tim.^1$ $Tim.^2$

μασιν, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν. καὶ καθάπερ ὁ λόγος ἀπὸ τῆς ἰσότητος
τῆς τοῦ πατρὸς δόξης ἐστὶν ἀχώριστος, οὕτως τὸ σῶμα τὴν φύσιν τοῦ ἡμετέρου γένους
οὐκ ἀπολέλοιπεν· εἷς γὰρ καὶ ὁ αὐτὸς ἀληθῶς υἱὸς τοῦ θεοῦ καὶ ἀληθῶς υἱὸς ἀνθρώπου
τυγχάνει, θεὸς μὲν κατὰ τοῦτο καθ' ὃ ἐν ἀρχῆι ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς Ioh. 1, 1
τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος, ἄνθρωπος δὲ κατὰ τοῦτο καθ' ὃ ὁ λόγος σὰρξ Ioh. 1, 14
ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ θεὸς μὲν κατὰ τοῦτο καθ' ὃ δι' αὐτοῦ τὰ πάντα Ioh. 1, 3
ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ἄνθρωπος δὲ κατὰ τοῦτο καθ' ὃ
γέγονεν ἐκ γυναικός, γέγονεν ὑπὸ νόμον. καὶ ἡ μὲν τῆς σαρκώσεως γέννησις Gal. 4, 4
ἀνθρωπίνης ἐστὶν δήλωσις φύσεως, ὁ δὲ τοκετὸς τῆς παρθένου μήνυμα τῆς θείας ὑπάρχει
δυνάμεως, καὶ ἡ μὲν νηπιότης τοῦ βρέφους διὰ τῆς τῶν σπαργάνων εὐτελείας ἐπιγινώσκεται, τὸ δὲ μέγεθος τῆς αὐτοῦ μεγαλωσύνης διὰ τῶν ἀγγελικῶν φωνῶν ἀποδείκνυται,
καὶ ὁμοιοῦται μὲν τοῖς νεωστὶ τικτομένοις ἀνθρώποις οὗτος ὃν Ἡρώιδης ἀσεβῶς φονεῦσαι Mt. 2, 16
βουλεύεται, ἀλλὰ ἐστὶν δεσπότης τῶν ὅλων ὃν μάγοι χαίρουσιν ἱκετευτικῶς προσκυνεῖν.
ὅτε δὲ πρὸς τὸ τοῦ προδρόμου ἑαυτοῦ Ἰωάννου ἔρχεται βάπτισμα, ὅπως ἂν μὴ λάθηι
ὅτιπερ τῶι προκαλύμματι τῆς σαρκὸς ἡ θεότης ἐκρύπτετο, ἡ τοῦ πατρὸς φωνὴ ἐξ οὐρανῶν
ἐπιβοῶσά φησιν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ὧι ηὐδόκησα. τοι- Mt. 3, 17
γαροῦν ὃν ὡς ἄνθρωπον ἡ τοῦ διαβόλου πειράζει πανουργία, τούτωι ἅτε δὴ θεῶι ἡ τῶν Mt. 4, 11
ἀγγέλων τάξις διακονεῖ. τὸ μὲν γὰρ πεινῆν καὶ διψῆν, κοπιᾶν καὶ ὑπνοῦν ὁμολογουμένως
ἐστὶν ἀνθρώπου, ἀλλὰ τὸ πέντε ἄρτοις πέντε χιλιάδας ἀνθρώπων κορέσαι καὶ χαρίσασθαι
τῆι Σαμαρείτιδι ζῶν ὕδωρ, ὅθεν ἀρυσαμένηι αὐτῆι ὑπῆρξεν τὸ μηκέτι διψῆν, καὶ ἐπὶ Ioh. 4, 10. 14
μὲν νώτων θαλάσσης περιπατεῖν τῶν ποδῶν οὐ βαπτιζομένων, τὰς δὲ τῶν κυμάτων Mt. 14, 25
οἰδήσεις ἐπιτιμωμένου τοῦ κλύδωνος κατευνάζειν ἐστὶν ἀναμφιβόλως θεοῦ. ὥσπερ Lc. 8, 24
οὖν, ἵνα τὰ πολλὰ παραλείψω, οὐ τῆς αὐτῆς ἐστιν φύσεως τὸ κλαίειν ἐκ διαθέσεως οἴκτου Ioh. 11, 35
τὸν τελευτήσαντα φίλον καὶ τὸ τὸν αὐτὸν ἀναζῆν μέλλοντα διασκεδασθέντος τοῦ προσχώματος τῆς τεταρταίας ἤδη ταφῆς ἐξαναστῆσαι πρὸς τὸ κέλευσμα τῆς φωνῆς ἢ τὸ ἐπὶ Ioh. 11, 39. 43

---

MPSM[1]BHXP[1]NJWRVUZ, K[= dlmu], Tim.[1], Tim.[2] arm. syr. [4 θεὸς μέν — 16 ηὐδόκησα, 18 τὸ μὲν γὰρ — p. 16, 7 καθέστηκεν].

1 τοῖσ παθήμασιν M[1]BW, K[m] ex corr. ἐν ἄλλω ταῖσ ὕβρεσιν M[1] in mg. 2 τῆς om. K[d] 3 μὲν γὰρ VUK[m] ὁ om. XZ ἀληθῶς[1] om. RVUZK[lu] Tim.[1] υἱὸς — καὶ om. VZK[m] θῦ υἱὸσ M[1]B τοῦ θῦ K[d] τοῦ om. WP[1]RUK[lu] τε MPSJ 3/4 ἀληθῶς[2] — τυγχάνει] υἱὸς ἀνοῦ τυγχάνει ἀληθῶσ [ἀληθὴσ U om. K[m]] VUK[m] 4 καθὸν K[l] 4/5 καὶ ὁ λόγος — ὁ λόγος om. K[lu] 5—7 ὁ λόγος σὰρξ — καθ' ὃ om. V 6 καθ' ὃ om. K[l] ὅτι K[u] 6/7 δι' αὐτοῦ — καθ' ὃ om. J δι' — ἐγένετο om. K[lu] 6 τὰ om. HXP[1]K[d] 7 καὶ om. K[u] οὐδέν BW ἐν ὃ γέγονεν M[1]NK[lu], K[m] ex corr., Tim.[1] Tim.[2] 8 γυναικὸσ καὶ NK[u] σαρκώσεωσ αὐτοῦ J 9 ἀνθρωπίνωσ PS φύσεωσ δήλωσισ V μήνυμα — ὑπάρχει] ἔλεγχοσ ὑπάρχει θείασ K[lu] 10 τοῦ βρέφουσ νηπιότης N παρθένων B 10/11 ἐπιγινώσκεται εὐτελείασ M[1]BW 11 εὐαγγελικῶν MPSJVZK[lmu] 12 μὲν ἐν X ἀνοσ K[l], K[u] ex corr. οὗτος] ὁ αὐτὸσ N 12/13 φονεῦσαι βούλεται SM[1]BWRVUZK[lu] βούλεται φονεῦσαι HX 13 οἱ μάγοι P[1]K[dlu] χαίρουσιν [σπεύδουσιν W] ἱκετικῶσ P[1]WK[d] προσκυνοῦντεσ RK[lu], K[m] ex corr., Tim.[1] Tim.[2] 14 ὅτι S αὐτοῦ MPSP[1]JK[dm], corr. K[m] Ἰωάννου om. V 15 ὅτι R τῶι om. K[lu] οὐρανοῦ R 16 εὐδόκησα BXP[1]NUZK[d] 17 ὡς om. U ἀνοσ HX ἅτε om. UK[u] τῷ θῷ VU 18 διψὰν K[u] κοπιᾶν] καὶ κοπιᾶν HXP[1]NK[d] Tim.[2] arm. κοπιᾶν τε K[lu] ὑπνοῖν HXK[lu] 19 ἀλλὰ τὸ] τὸ δὲ S ἐκ πέντε ἄρτων K[lu] πέντε μυριάδασ U πεντακισχιλίουσ ἀνουσ M[1]BW 20 ζῶν ὕδωρ τῇ σαμαρείτιδι N ὕδωρ ζῶν M[1]RK[lu] ὑπῆρξε ταύτη P[1]K[d] ὑπῆρχε M[1]BW διψᾶν M[1]Z καὶ τὸ U 21 μὲν om. VU περιπατεῖν] ὤχεσθαι K[lu] δὲ] τε U ὑδάτων B 22 κατευνάζει HX, corr. H ἀναμφιβόλωσ ἐστὶ HX Tim.[2] arm. 23 τὰ om. VU παραλίπω P[1]K[d] φύσεωσ ἐστὶ BNK[u] καὶ ἐκ X οἴκτων N οἴκον V 24 τετελευτηκότα N τελευτηκότα HX τὸ om. B τὸν om. K[u] ἄξειν K[l] ἄξει K[u] 24/25 προσκώματοσ X προσχήματοσ H[corr] 25 τελευταίασ P[1]K[d] ἐξαναστῆναι M[1]BW ἐξαναστῆσαι τὸν ἀναζήσαντα [ἀναζητήσαντα U] MPSJVUZK[m] πρὸσ τὸ τῆσ φωνῆσ κέλευσμα ἐξαναστῆσαι [ἐξαναστῆναι K[l]] K[lu] φωνῆς] ταφῆσ V ἢ om. PS τὸ] τοῦ UK[lu] om. PS ἀπὸ MXJ

Mt. 27, 45. 51 ξύλου ἠρτῆσθαι καὶ ἐξ ἡμέρας εἰς νύκτα μεταβληθέντα τὰ στοιχεῖα πάντα συσσεῖσαι
Lc. 23, 43 ἢ τὸ διαπεπάρθαι τοῖς ἥλοις καὶ τὰς τοῦ παραδείσου πύλας ἀνοῖξαι τῆι πίστει τῆι τοῦ
Ioh. 10, 30 ληστοῦ, οὕτως οὐ τῆς αὐτῆς ἐστιν φύσεως τὸ λέγειν ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμέν
Ioh. 14, 28 καὶ τὸ λέγειν ὁ πατήρ μου μείζων μού ἐστιν. εἰ καὶ τὰ μάλιστα γὰρ ἐν τῶι δεσπότηι Ἰησοῦ Χριστῶι τοῦ θεοῦ καὶ τοῦ ἀνθρώπου ἕν ἐστιν πρόσωπον, ὅμως ἕτερόν ἐστιν ἐκεῖνο ἐξ οὗ ἐν ἑκατέρωι κοινόν ἐστιν τὸ τῆς ὕβρεως, καὶ ἕτερον ἐξ οὗ κοινὸν τὸ τῆς δόξης καθέστηκεν. ἐξ ἡμῶν μὲν γάρ ἐστιν αὐτῶι ἡ ἐλάσσων τοῦ πατρὸς ἀνθρωπότης,
5 ἀπὸ δὲ τοῦ πατρός ἐστιν αὐτῶι ἡ μετὰ τοῦ πατρὸς ἴση θεότης. διὰ ταύτην τοίνυν τοῦ προσώπου τὴν ἕνωσιν τὴν ἐν ἑκατέραι φύσει νοεῖσθαι ὀφείλουσαν καὶ υἱὸν ἀναγινώσκομεν ἀνθρώπου κατεληλυθέναι ἐξ οὐρανοῦ, ὁπότε ὁ υἱὸς τοῦ θεοῦ τὸ σῶμα ἐξ αὐτῆς τῆς παρθένου ἐξ ἧς ἐτέχθη, προσέλαβεν, καὶ πάλιν ὁ υἱὸς τοῦ θεοῦ σταυρωθεὶς λέγεται καὶ ταφείς, ὁπότε ταῦτα οὐκ ἐν αὐτῆι τῆι θεότητι ἐν ἧι μονογενὴς καὶ συναίδιος καὶ ὁμοούσιος ὢν τῶι πατρί, ἀλλ᾽ ἐν τῆι ἀσθενείαι τῆς ἀνθρωπίνης ὑπομεμένηκε φύσεως. ὅθεν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ τὸν σταυρωθέντα καὶ ταφέντα πάντες καὶ ἐν τῶι συμ-
1 Cor. 2, 8 βόλωι συνομολογοῦμεν κατ᾽ ἐκεῖνο τὸ ἀποστολικὸν εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. ὅτε δὲ αὐτὸς ὁ κύριος ἡμῶν καὶ σωτὴρ τὴν
Mt. 16, 13. 15 πίστιν τῶν μαθητῶν διὰ τῶν οἰκείων ἐξεπαίδευεν ἐρωτήσεων, τίνα με, φησίν, λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; καὶ ἐκείνων ἀποκριναμένων ἄλλας ἄλλων εἶναι δόξας ὑμεῖς, φησίν, τίνα με λέγετε εἶναι; ἐμὲ δηλαδὴ τὸν υἱὸν τοῦ ἀνθρώπου καὶ ὃν ἐν μορφῆι δούλου καὶ ἀληθείαι σώματος θεωρεῖτε, τίνα με λέγετε [εἶναι]; ἔνθα ὁ μακάριος Πέτρος θεόθεν ἐμπνευσθεὶς καὶ διὰ τῆς οἰκείας ὁμολογίας πᾶσιν μέλλων γίνεσθαι
Mt. 16, 16 σωτηρία τοῖς ἔθνεσιν σὺ εἶ, φησίν, ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος καὶ ἀξίως μακάριος ἀπεφάνθη παρὰ τοῦ κυρίου καὶ ἀπὸ τῆς πρωτοτύπου πέτρας τὸ στερεὸν
PL 774 ἐπεσπάσατο τῆς τε ἀρετῆς καὶ τῆς προσηγορίας. ὅστις δι᾽ ἀποκαλύψεως τοῦ πατρὸς τὸν αὐτὸν καὶ υἱὸν θεοῦ ὡμολόγησεν καὶ Χριστόν, ἐπειδήπερ ἓν τούτων δίχα θατέρου λαμβανόμενον ἀνόνητον ἐτύγχανεν εἰς σωτηρίαν καὶ τοῦ αὐτοῦ ὑπῆρχεν κινδύνου τὸ τὸν κύριον Ἰησοῦν Χριστὸν ἢ θεὸν μόνον ἄνευ ἀνθρώπου ἢ δίχα θεοῦ πιστεύειν ἄνθρωπον μόνον. μετὰ δὲ τὴν ἀνάστασιν τοῦ κυρίου, ἥτις δηλαδὴ τοῦ ἀληθοῦς αὐτοῦ σώματος

---

MPSM$^1$BHXP$^1$NJWRVUZ, K [= dlmu], Tim.$^1$, Tim.$^2$ [8 διὰ ταύτην — 13 φύσεως. 24 ὅστις — 28 ἄνθρωπον μόνον]

1 τοῦ ξύλου M$^1$ καὶ τὸ B μεταβαλόντα N συσσεῖσθαι P$^1$ συσσεῖσθω K$^d$ 2 διὰ τὸ πεπάρθαι S 2/3 τῇ τοῦ λῃστοῦ πίστει S 2 τῆι$^2$ om. M$^1$BHP$^1$WK$^{dlu}$, corr. H 3 οὕτωσ οὖν οὐ HX φύσεωσ ἐστὶ BHXN φύσεωσ U φύσεωσ ὡσ Z 4 μου$^2$ om. B εἰ] εἶτα Z γὰρ om. M$^1$BWRK$^u$ 5 τῷ χῷ K$^u$ τοῦ$^2$ om. M$^1$BWR τὸ πρόσωπον M$^1$BW ἕτερόν τι N ἕν U 6 ἐστι] λέγεται δι᾽ οἰκειώσεωσ Tim.$^1$ Tim.$^2$ 7 μὲν om. M$^1$ αὐτοῦ U om. M$^1$B 8 αὐτοῦ U 9 προσώπου] πρ̅σ̅ K$^{lu}$ ἕνωσιν] ἑνότητα WR μονότητα HX νοεῖσθαι ἀδύνατον V 9/10 υἱὸν — ἀνθρώπου] υἱὸς ἀνθρώπου λέγεται Tim.$^1$ Tim.$^2$ ἀναγινωσκόμενον UK$^u$ ἕνα γινώσκομεν H 10 ἐξ οὐρανοῦ κατεληλυθέναι Z ὁ om. XK$^{lu}$ 11 προσέλαβεν ἐξ ἧσ ἐτέχθη Z ὁ om. N ὁ σταυρωθεῖσ K$^u$ σταυρωθῆναι P$^1$K$^d$ 12 ταφῆναι P$^1$K$^d$ 13 ἀνθρωπίνης] ἡμετέρασ W 14 ταφέντα καὶ ἀναστάντα P$^1$JK$^{dlu}$ καὶ ἀναστάντα M in mg. καὶ om. M$^1$BW 15 ὁμολογοῦμεν VU κατ᾽ ἐκεῖνο] κἀκεῖνο K$^{lu}$ 16 ὅτι U καὶ ὅτι HX 17 τῶν μαθητῶν om. P$^1$K$^d$ ἐξεπαίδευσεν SM$^1$BXP$^1$WRUK$^{dlu}$, corr. M$^1$ με om. R μεν K$^u$ 17/18 λέγουσιν εἶναι τὸν — ἀνθρώπου οἱ ἄνοι φησὶ B οἱ ἄ̅ν̅οι̅ λέγουσιν εἶναι [εἶναι om. HX] M$^1$HXNW οἱ ἄνοι εἶναι λέγουσι Z ἀνθρώπου] θῦ W 18/19 καὶ ἐκείνων — ἀνθρώπου om. Z 18 κἀκείνων M$^1$BW ἀποκρινομένων P$^1$K$^d$ 19 με om. H ἐμὲ om. K$^{lu}$ 20 εἶναι HXRVK$^{lu}$ Tim.$^1$ om. MPSM$^1$BP$^1$NJWUZK$^{dm}$ ἐνταῦθα HU, corr. H 21 ὁμολογίας] πίστεως Tim.$^1$ μέλλων πᾶσι M$^1$BW γενέσθαι UK$^{lu}$ 23 στερρὸν M$^1$BP$^1$WK$^d$ 24 προσηγορίας] ὁμολογίασ καὶ τῆσ προσηγορίασ VUK$^m$ εἴτισ V 25 τοῦ θῦ H$^{corr}$XN ὁμολόγησεν εἶναι K$^{lu}$ ἐπειδὴ γὰρ VU ἐν τούτω PSX ἑτέρου K$^{lu}$ 26 ἀνόητον V Tim.$^1$ Tim.$^2$ syr. ἀνθρωπίνη τὸν H ἂν spat. uacuum X ἐντυγχάνειν HX εἰσ σριαν ἐτύγχανεν NW κινδύνου ὑπῆρχεν N τὸ om. Z 27 ἢ om. PSH, corr. H μόνον om. N 28 τὴν τοῦ κῦ ἀνάστασιν N ἀληθινοῦ U

γέγονεν, ἐπειδήπερ οὐκ ἄλλος ἀνέστη εἰ μὴ ὁ σταυρωθεὶς καὶ ἀποθανών, τί ἕτερον τῆι τῶν
τεσσαράκοντα ἡμερῶν αὐτοῦ διαγωγῆι γέγονεν ἢ ἵνα ἐκ πάσης ἀχλύος τὰ τῆς πίστεως Act. 1, 3
ἡμῶν καθαρθῆι; διαλεγόμενος γὰρ τοῖς ἑαυτοῦ μαθηταῖς καὶ συνδιατρίβων καὶ συναλι- Act. 1, 4
ζόμενος ἀκριβέστερόν τε καὶ πολυπραγμονικώτερον διὰ τῆς ἀφῆς ἑαυτὸν ψηλαφᾶσθαι παρὰ
τούτων, οὓς ἔπληττεν τὸ ἀμφίβολον, ἐνδιδοὺς διὰ τοῦτο καὶ κεκλεισμένων τῶν θυρῶν Ioh. 20, 19. 22
εἰσῄει πρὸς τοὺς μαθητὰς καὶ τῶι φυσήματι τῶι ἑαυτοῦ παρεῖχεν ἅγιον πνεῦμα καὶ χαρι-
ζόμενος τὸ φῶς τὸ τῆς γνώσεως τῶν θείων γραφῶν ἀνεκάλυπτε τὰ ἀπόρρητα καὶ πάλιν ὁ
αὐτὸς τὰ τραύματα τῆς πλευρᾶς καὶ τὰς διατρήσεις τῶν ἥλων καὶ πάντα τὰ τοῦ νεαροῦ
πάθους ἐπεδείκνυ σημεῖα λέγων· ψηλαφήσατέ με καὶ ἴδετε ὅτι πνεῦμα σάρκα Lc. 24, 39
καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα, ὅπως ἂν ἐν αὐτῶι μεμενηκέναι
γνωσθῆι ἡ ἰδιότης τῆς τε θείας καὶ τῆς ἀνθρωπίνης φύσεως ἀδιαίρετος οὕτω τε μάθωμεν
τὸν λόγον μὴ τοῦτο εἶναι ὅπερ ἐστὶν ἡ σάρξ, ἀλλ' ἕνα υἱὸν τοῦ θεοῦ καὶ τὸν λόγον ὁμο-
λογήσωμεν καὶ τὴν σάρκα. ἥστινος πίστεως τοῦ μυστηρίου κοῦφος ὢν Εὐτυχὴς οὗτος
καὶ ἀμέτοχος ὀφείλει νομίζεσθαι, ὃς τὴν φύσιν τὴν ἡμετέραν ἐν τῶι μονογενεῖ τοῦ θεοῦ
οὔτε διὰ τῆς ταπεινότητος τῆς ἀνθρωπότητος οὔτε διὰ τῆς δόξης ἐπέγνω τῆς ἀναστά-
σεως οὔτε τὴν ἀπόφασιν ἐφοβήθη τοῦ μακαρίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου
τοῦ λέγοντος πᾶν πνεῦμα τὸ ὁμολογοῦν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐλη- 1 Ioh. 4, 2. 3
λυθέναι ἀπὸ θεοῦ ἐστιν καὶ πᾶν πνεῦμα τὸ διαιροῦν Ἰησοῦν Χριστὸν PL 776
ἀπὸ θεοῦ οὐκ ἔστιν καὶ οὗτός ἐστιν ὁ ἀντίχριστος. τί δέ ἐστιν τὸ διαι-
ροῦν Ἰησοῦν εἰ μὴ τὴν ἀνθρωπίνην ἀπ' αὐτοῦ φύσιν ἀποχωρίζειν καὶ τὸ μυστήριον
δι' οὗπερ ἐσώθημεν μόνου, πειρᾶσθαι μάταιον διὰ πλασμάτων ἀναιδῶν ἀπεργάζεσθαι;
ὁ δὲ τὴν ἀχλὺν ὑφιστάμενος περὶ τὴν φύσιν τοῦ σώματος τοῦ Χριστοῦ ἀναγκαίως καὶ
περὶ τὸ πάθος αὐτοῦ τῆι παραπλησίαι τυφλώσει παραφρονεῖ. καὶ γὰρ εἰ τὸν σταυρὸν
τοῦ δεσπότου ψευδῆ μὴ νενόμικεν καὶ τὸ πάθος τὸ ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας
ἀναδεχθὲν ἀληθὲς γενόμενον οὐδαμῶς ἀμφιβάλλει, οὗτινος οὖν ἐπιγινώσκει τὸν
θάνατον, ἐπιγινωσκέτω [καὶ] τὴν σάρκα καὶ μηδὲ τῆς ἡμετέρας αὐτὸν σαρκὸς ἄνθρωπον
ἀπαρνείσθω, ὃν παθητὸν ἔγνω γενόμενον, ἐπειδήπερ ἡ ἄρνησις τοῦ ἀληθοῦς σώματος
ἄρνησίς ἐστιν καὶ τοῦ πάθους τοῦ σώματος. εἰ τοίνυν δέχεται πίστιν Χριστιανῶν

MPSM$^1$BHXP$^1$NJWRVUZ, K[= dlmu], Tim.$^1$, Tim.$^2$ [14 ὃς — 16 ἀναστάσεως].

1 ἐπείπερ HXP$^1$NRK$^{dlu}$ εἴπερ Tim.$^1$ τί δὲ καὶ K$^{lu}$ τί δὲ K$^m$ ex corr. εἰσ τί P$^1$K$^d$ τῆι] ἡ PSP$^1$K$^{dlu}$ Tim.$^1$ σαράκοντα K$^{lu}$ 2 αὐτοῦ ἡμερῶν διαγωγῆ P$^1$WVUK$^d$ ἡμερῶν διαγωγῆ αὐτοῦ NK$^{lu}$ 3 μὲν γὰρ K$^m$ ex corr. αὐτοῦ N 3/4 συναυλιζόμενοσ SBXWRUZK$^{du}$, corr. B 4 τε] δὲ PSM$^1$K$^{lu}$ om. B 5 τούτων] πάντων N ἐκδιδοὺσ V ἐδίδου B ἐνεδίδου K$^m$ ex corr. ἀνεδίδου P$^1$K$^d$ τούτων V καὶ om. MPSHXJRVUZK$^m$ Tim.$^1$, corr. K$^m$ 6 εἰσῆλθε HX τῶι$^2$] τὸ MSHJK$^{lu}$ 7 τὸ$^2$ om. MPSJVUZK$^{lmu}$ ἀπεκάλυπτε MPSJVUZK$^{lmu}$, corr. K$^m$ 8 τὰ om. K$^u$ 9 ἐπιδίκνυ K$^u$ ἐπιδείκνυε HX ὑπεδείκνυ JU ἐπιδείκνυσιν BW ἐπεδείκνυτο Z σημεῖα] ἴδια BW 10 μεμενηκέναι ἐν αὐτῷ MPSJVUZK$^m$ 11 γνωσθείη VUZK$^{lmu}$ τε om. BHXWVUK$^{lu}$ φύσεωσ καὶ τῆσ ἀνθρωπίνησ Z τῆς om. M$^1$BWR ἀδιαιρέτωσ VUK$^{lu}$ μανθάνομεν P$^1$K$^d$ 12 τοῦτον K$^{lu}$ τοῦ θεοῦ om. Tim.$^1$ 13 τοῦ om. R 14 καὶ om. B λογίζεσθαι P$^1$K$^d$ ὅστισ HXK$^{lu}$ ὡσ Z τοῦ θῦ υἱῶι M$^1$BW υἱῶ τοῦ θῦ HXP$^1$JRK$^{dlu}$, K$^m$ ex corr., Tim.$^1$ Tim.$^2$ arm. 15 τῆς ἀνθρωπότητος om. VUZK$^m$, corr. K$^m$ οὔτε] οὐδὲ N 16 μακαρίου — καὶ om. S Ἰωάννου om. P$^1$K$^d$ 17 τοῦ om. PSM$^1$BNWVUZ τοῦ θεολόγου X λέγοντοσ ὅτι M$^1$BW 17/18 ἐληλυθέναι ἐν σαρκὶ R ἐληλυθέναι Z 19 τοῦ θῦ N τοῦτό HXNR τοῦ ἀντιχρίστου PSHP$^1$VUZK$^{dm}$, corr. K$^m$ τὸ τοῦ ἀντιχρίστου H$^{corr}$ XNR 19/20 διαιρεῖν P$^1$K$^d$ τὸν ῑν̄ M$^1$BHXP$^1$WK$^{ld}$ τὸν χ̄ν̄ N ῑν̄ χ̄ν̄ VUK$^m$ 20 τὸ τὴν K$^m$ ex corr. ἀπ' αὐτοῦ om. Tim.$^1$ ἀπ' om. X 21 διὰ πλασμάτων] ἀνάπλασμα τῶν U 22 ἀφιστάμενοσ PSVUK$^d$ ἐπιστάμενοσ K$^{lu}$ Χριστοῦ] κ̄ῡ HX 23 τοῦ πάθουσ N παραφρονεῖν ZK$^m$ εἰ om. K$^u$ ἡ K$^l$ εἰσ X 23/24 τὸν τοῦ δεσπότου σταυρὸν B 23 σταυρὸν] θησαυρὸν Z 24 μὴ νενόμικεν] μὲν ἐνόμησεν K$^{lu}$ τῆς om. X 25 ἀναδειχθὲν M$^1$BHXP$^1$WVUZK$^{lmu}$ ἀληθῶσ MM$^1$BJK$^m$ ex corr. μηδαμῶσ K$^d$ ἀμφιβάλοι MNJ οὖν om. P$^1$K$^d$ 26 καὶ$^1$ P$^1$K$^{dlu}$ Tim.$^1$ om. MPSM$^1$BHXNJWRVUZK$^m$ μηδὲν MPSJ μὴ διὰ HX σαρκὸσ αὐτὸν BW σαρκὸσ R 28 ἄρνησίς — σώματος om. U ἐστιν τε R τὴν πίστιν τῶν B

καὶ ἀπὸ τοῦ κηρύγματος τοῦ εὐαγγελίου μὴ τὴν οἰκείαν ἀκοὴν ἀποστρέφει, σκοπείτω
Ioh. 19, 34 ποία φύσις διαπεπαρμένη τοῖς ἥλοις ἐν τῶι τοῦ σταυροῦ ξύλωι κεκρέμαστο καὶ ἀνοι-
γείσης τῆς πλευρᾶς τοῦ προσπεπηγότος τῶι σταυρῶι διὰ τοῦ δόρατος τοῦ στρατιώτου
νοείτω πόθεν τὸ αἷμα καὶ τὸ ὕδωρ ἐρρύη, ὥστε τὴν ἐκκλησίαν τοῦ θεοῦ τῶι τε λουτρῶι
καταρδεύεσθαι καὶ τῶι πόματι. ἀκουέτω δὲ καὶ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου
1 Petr. 1, 2 κηρύττοντος ὅτι ὁ καθαρισμὸς τοῦ πνεύματος διὰ τοῦ ῥαντισμοῦ γίνεται τοῦ αἵματος
τοῦ Χριστοῦ, μηδὲ παροδικῶς ἀναγινωσκέτω τοῦ αὐτοῦ ἀποστόλου τὰ ῥήματα λέ-
1 Petr. 1, 18. γοντος· εἰδότες ὅτιπερ οὐ φθαρτοῖς ἀργυρίωι ἢ χρυσίωι ἐξηγοράσθητε
19 ἐκ τῆς ματαίας ὑμῶν πατροπαραδότου ἀναστροφῆς, ἀλλὰ τῶι τιμίωι
αἵματι ὡσανεὶ ἀμνοῦ ἁγίου καὶ ἀμώμου Ἰησοῦ Χριστοῦ. καὶ τοῦ μα-
1 Ioh. 1, 7 καρίου δὲ Ἰωάννου τοῦ ἀποστόλου τῆι μαρτυρίαι μὴ ἀνθιστάσθω λέγοντος· καὶ τὸ
PL 778 αἷμα Ἰησοῦ τοῦ υἱοῦ τοῦ θεοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας καὶ
1 Ioh. 5, 4-8 πάλιν· αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. τίς
ἐστιν ὃς ἐνίκησεν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς
τοῦ θεοῦ; οὗτος ὁ ἐρχόμενος δι' ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός,
οὐκ ἐν τῶι ὕδατι μόνον, ἀλλ' ἐν ὕδατι καὶ αἵματι, καὶ τὸ πνεῦμά ἐστιν
τὸ μαρτυροῦν, ἐπειδὴ τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. τρεῖς γάρ εἰσιν
οἱ μαρτυροῦντες, τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς τὸ
ἕν εἰσιν, τὸ πνεῦμα δηλονότι τοῦ ἁγιασμοῦ καὶ τὸ αἷμα τῆς λυτρώσεως καὶ τὸ ὕδωρ τοῦ
βαπτίσματος, ἅπερ τὰ τρία ἕν ἐστιν καὶ ἀμέριστα μένει καὶ οὐδὲν αὐτῶν ἀπὸ τῆς ἑαυτῶν
χωρίζεται συναφείας, ἐπειδήπερ ἡ καθολικὴ ἐκκλησία ἐν ταύτηι ζῆι καὶ προκόπτει τῆι
πίστει, ἵνα μήτε δίχα τῆς ἀληθοῦς θεότητος ἡ ἀνθρωπότης μήτε δίχα τῆς ἀληθοῦς ἀν-
θρωπότητος ἡ θεότης πιστεύηται.

6 Πρὸς μέντοιγε τὴν διαλαλιὰν τῆς ὑμετέρας ἀκροάσεως ὡς Εὐτυχὴς ἀπεκρίνατο
λέγων· ὁμολογῶ ἐκ δύο φύσεων γεγενῆσθαι τὸν κύριον ἡμῶν πρὸ τῆς ἑνώσεως, μετὰ
δὲ τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ, θαυμάζω τὴν οὕτως ἀλλόκοτον καὶ οὕτω διεστραμ-
μένην ὁμολογίαν μηδεμιᾶι τῶν δικαζόντων ἐπιτιμήσει δόξασαν ἐπιλήψιμον καὶ τὸν
οὕτως ἄφρονα λόγον ἐν παραδρομῆι γεγονότα ὡς τῶν ἀκουσθέντων οὐδενὶ προσκρου-

---

MPSM$^{1}$BHXP$^{1}$NJWRVUZ, K [= dlmu], Tim.$^{1}$, Tim.$^{2}$ [1 σκοπείτω — 4 ἐρρύη, 22/23 ἵνα — πιστεύηται]

1 εὐαγγελικοῦ M$^{1}$BHXW 2 ἡ φύσισ Z τοῖσ ἥλοισ διαπεπαρμένη N τοῦ om. K$^{lmu}$, corr. K$^{m}$ κεκρέματο K$^{l}$, K$^{d}$ ex corr. ἐκρέματο M$^{1}$BNW ἐκρέμαστο PS 2/3 νυ-γείσησ PSM$^{1}$BP$^{1}$NWVUZK 3 προσπαγέντοσ P$^{1}$K$^{d}$ στρατιωτικοῦ J 4 τὸ ὕδωρ καὶ τὸ αἷμα M$^{1}$BW τοῦ] τὴν τοῦ MPSJVUK$^{lmu}$ 5 καὶ τοῦ ἀποστόλου πέτρου S 6 κηρύσσοντοσ M$^{1}$BW πνεύματος] θῦ M$^{1}$ 7 μήτε HX 8 ὅτι K$^{lu}$ τοῖσ φθαρτοῖσ MPSP$^{1}$NRZK$^{dm}$, corr. MK$^{m}$ ἀργυρίου ἢ χρυσίου K$^{m}$ ἠγοράσθητε VUK$^{lu}$ 9 ματαίας] ἁμαρτίασ P$^{1}$K$^{d}$ τῶι om. M$^{1}$BWVU 10 ὡσ M$^{1}$BW ἀμώμου καὶ ἁγίου NZ χυ ιυ MPSJRVK$^{m}$, corr. K$^{m}$ χῦ U 10/11 μακαρίου — ἀποστόλου] ἀποστόλου ιῶ S 11 τοῦ ἀπο-στόλου om. P$^{1}$ τὴν μαρτυρίαν V τῆ μαρία K$^{d}$ ἀνθίστασθαι R ἀντιστάσθαι H ἀντίστασθε X ἐπανιστάσθω K$^{lu}$ 12 Ἰησοῦ om. M$^{1}$BW ιῦ χῦ HX Tim.$^{1}$ τοῦ$^{1}$ om. S ὑμᾶσ P$^{1}$K$^{d}$ 13 ἡ νίκη om. BHXNZK$^{l}$ ὑμῶν P$^{1}$K$^{d}$ καὶ τίσ M$^{1}$W, K$^{m}$ ex corr. τίσ δὲ HX 14 ὁ νικήσασ HXK$^{u}$ ἡ νικήσασα NZ εἰ μή] ἢ U ισ αὐτόσ P$^{1}$K$^{d}$ om. M$^{1}$ 14/15 ὁ υἱὸς — οὗτος om. K$^{lu}$ 15 οὗτοσ ἐστὶν M$^{1}$HP$^{1}$WRK$^{d}$, K$^{m}$ ex corr. ἐλθὼν HX αἵματος] πνσ J Ἰησοῦς Χριστός om. B 16 τῶι om. K$^{lu}$ μόνω BW τῶ ὕδατι καὶ τῶ αἵματι VU 18 καὶ$^{1}$ om. SHP$^{1}$K$^{d}$ τρεῖσ εἰσ PSRU 18/19 εἰσι τὸ ἓν Z 19 τοῦ$^{2}$] τὸ τοῦ R 20 βαπτίσματος] σώματοσ MJ τὰ om. M$^{1}$BHXP$^{1}$WRK$^{d}$ αὐτῶν M$^{1}$B αὐτοῦ K$^{lu}$ 22 ἀνθρωπότησ γνωρίζηται [γνωρίζεται K$^{lu}$]PSP$^{1}$K$^{dlu}$, K$^{m}$ ex corr. μήτε$^{2}$ — ἀνθρωπότητος om. Tim.$^{1}$ ἀληθοῦς om. K$^{lu}$ 23 θεότησ εἶναι K$^{lu}$ πιστεύεται HXNRK$^{lu}$, corr. R 24 γε] γὰρ NZ ὡς] ὁ M$^{corr}$JV 25 γεγεννῆσθαι WV ἡμῶν om. K$^{lu}$ πρό] περὶ K$^{d}$ 26 δὲ] μέντοι M$^{1}$BW ὄντωσ NVUZK$^{m}$ ἀλληλόκο-τον K$^{lu}$ οὕτω om. J 27 ἐπιλήμψιμον R 28 παράφρονα K$^{lu}$ 28/p. 19, 1 ἀκουσθέντων — προσκρουσάντων] ἀκουσάντων K$^{lu}$ προσκρούσαντα M$^{corr}$

σάντων, ὁπότε τὸν αὐτὸν τρόπον ἐστὶν ἀσεβὲς τὸ λέγειν ὡς ἐκ δύο φύσεων πρὸ τῆς ἐνανθρωπήσεως ὁ μονογενής ἐστιν υἱὸς τοῦ θεοῦ, ὥσπερ ἐστὶν ἀθέμιτον τὸ διαβεβαιοῦσθαι ὡς μετὰ τὸ τὸν λόγον σάρκα γενέσθαι μία ἐν αὐτῶι φύσις ἐστίν. ὅπερ ὅπως ἂν μὴ Εὐτυχὴς ὀρθῶς εἴτ' οὖν ἀνεκτῶς ὑπολάβηι ῥηθέν, ἐπειδήπερ ἐξ οὐδεμιᾶς ὑμῶν ἐπεστόμισται ψήφου, τὴν τῆς σῆς ἀγάπης ὑπομιμνήισκομεν ἀκρίβειαν, ἀδελφὲ τιμιώτατε, ἵνα εἰ διὰ τῶν τοῦ θεοῦ οἰκτιρμῶν εἰς ἀπολογίαν περιίσταται τὰ τοῦ πράγματος, ἡ ἀγνωσία τοῦ ἀμαθοῦς ἀνθρώπου καὶ ἀπὸ ταύτης τῆς φθορᾶς τῆς κατὰ τὴν οἰκείαν διάνοιαν καθαρθῆι. ὅστις μὲν οὖν, ὡς ἡ τάξις τῶν πεπραγμένων δηλοῖ, καλῶς ἀναχωρεῖν ἦν ἀρξάμενος ἀπὸ τῆς ἰδίας ἐνστάσεως, ὁπηνίκα τῆι ὑμῶν ἀποφάσει συνεχόμενος ὡμολόγει λέγειν ἑαυτὸν ὃ πρότερον οὐκ εἰρήκει, καὶ ταύτηι ἐφησυχάζειν τῆι πίστει ἧς ἐτύγχανεν πρώην ἀλλότριος, ἀλλ' ὁπότε ἐν τῶι ἀναθεματιστέωι ἀσεβεῖ δόγματι συναινεῖν οὐκ ἠβούλετο, ἔγνω αὐτὸν ἡ ὑμῶν ἀδελφότης ἐν τῆι οἰκείαι διαμένοντα κακοδοξίαι καὶ ἄξιον εἶναι τοῦ δέχεσθαι τὴν κρίσιν τῆς καθαιρέσεως. ἐφ' ὧιπερ εἰ πιστῶς καὶ συμφερόντως ἀλγεῖ καὶ εἰ βράδιον γοῦν ὅμως ἐπιγινώσκει ὅπως εἰς δέον ἡ τῶν ἐπισκόπων ἐπ' αὐτῶι αὐθεντία κεκίνηται, ἢ εἰ πρὸς τὸ τέλειον τῆς ἀπολογίας ἴδοι, ὥστε πάντα τὰ παρ' αὐτοῦ κακῶς φρονηθέντα ἐναργεῖ καὶ παρούσηι τῆι φωνῆι, καὶ οἰκείαι δὲ καταδικασθῆναι ὑπογραφῆι, οὐκ ἔσται καταγνώσεως ἄξιος ὁ περὶ τὸν διορθωθέντα ὁπόσος οὖν ἔλεος, ἐπειδήπερ ὁ κύριος ἡμῶν ὁ ἀληθινὸς καὶ ἀγαθὸς ποιμὴν ὁ τὴν ψυχὴν θεὶς ὑπὲρ [Ioh. 10, 11] τῶν προβάτων τῶν ἑαυτοῦ καὶ ὃς ἦλθεν τὰς ψυχὰς τῶν ἀνθρώπων σῶσαι, οὐκ ἀπο- [Lc. 9, 56] λέσαι, μιμητὰς ἡμᾶς τῆς οἰκείας ἀγαθότητος εἶναι βούλεται, ἵνα τοὺς μὲν ἁμαρτάνοντας σωφρονίσηι τὸ δίκαιον, τοὺς ἐπιστρέψαντας δὲ ὁ τῆς συμπαθείας μηδαμῶς οἶκτος ἀπώσηται. τότε γὰρ ὄντως, τότε σὺν ἀγαθῶι τῶι καρπῶι τὸ τῆς πίστεως ἀληθὲς ἐκδικεῖται, ὅτε καὶ παρὰ τῶν τῆς δυσσεβείας ἐξάρχων ἡ οἰκεία κακοδοξία καταδικάζεται.

Πρὸς δὲ τὸ πᾶσαν τὴν ὑπόθεσιν εὐσεβῶς καὶ πιστῶς ἐξανυσθῆναι τοὺς ἀδελφοὺς [PL 782] ἡμῶν Ἰούλιον τὸν ἐπίσκοπον καὶ Ῥενάτον τὸν πρεσβύτερον, ἔτι γε μὴν καὶ τὸν υἱόν μου Ἵλαρον τὸν διάκονον εἰς τὸν ἡμῶν ἀπεστάλκαμεν τόπον, οἷς Δουλκίτιον τὸν νοτάριον

---

MPSM$^1$BHXP$^1$NJWRVUZ, K[= dlmu], Tim.$^1$

1 ἀσεβέσ ἐστι M$^1$BW  2 υἱός — ἐστιν om. K$^{lu}$  τὸ om. MPSNVUZK$^m$, corr. MK$^m$ 3 τὸ om. MPSM$^1$HXK, corr. MHK$^m$  γεγενῆσθαι HXR  μίαν UK$^m$  ὅπως om. V 4 ἦτ' οὐν MM$^1$ ἢ γοῦν BHXK$^{lu}$  ἐκτὸσ NZ  ὑπολάβοι M$^1$BWRK$^{lu}$  τὸ ῥηθὲν M$^1$ ἡμῶν MPSHX  5 ἐπιστομεῖσθαι X ἐπιστόμισται K$^{lu}$  σῆς om. NZ  6 εἰ om. R  τῶν οἰκτιρμῶν τοῦ θῦ M$^1$BW  τὰ om. W  γράμματοσ HX  6/7 ἡ ἀγνωσία om. VU  7 τῆς$^2$ om. M$^1$BWK$^{lu}$, K$^m$ ex corr.  8 πρᾶξισ HX  καλῶς] καθὼσ N  9 ἦν om. WR  οἰκείασ R  10 ταύτηι om. NZ  ἐπισυχάζειν HRK$^{lu}$ ἐπησυχάζειν X ἐφησύχαζε B ἐφησυχάζει W  ἧ K$^{lu}$ om. R 11 ὁπότε] ὃ [ὧ Z] πρότερον NZ  καὶ ἀσεβεῖ WR  12 ἐβούλετο M$^1$BWU  μένοντα M$^1$BW, K$^m$ ex corr.  δόξη VU  13 εἶναι] οἶμαι PS  τοῦ om. NZ  14 ὅμως] ὅπωσ R ὅπως] πῶσ HX ὡσ P$^1$K$^d$  14/15 ἐπ' αὐτῶ ἡ τῶν ἐπισκόπων B  15 αὐθεντία ἐπ' αὐτῶ HX  ἐπ' αὐτὸν VU ἐπαύετο K$^{lu}$  ἢ εἰ] εἰ PSHXP$^1$K$^d$ Tim.$^1$ ἵν' εἰ M$^1$B, K$^m$ ex corr. ἢ K$^m$ ἐν ἢ K$^m$ in marg. ἤ τι N ὡσ εἴ γε K$^{lu}$  15/16 τὰ — φρονηθέντα πάντα Z  16 κακῶς φρονηθέντα] καταφρονηθέντα R φρονηθέντα N  ἐναργεῖ καὶ] ἐναργεῖν R ἐναργεῖ τῆ U  θαρρούση B, K$^m$ ex corr. καὶ$^2$ om. X  17 γραφῆ J τῆ ὑπογραφῆ V  ἔσται δὲ NVUZK$^m$, corr. K$^m$ ἔστιν R  ἄξιον ZK$^m$ ὁ om. PSNVUZK$^m$  17/18 ὁπωσοῦν MBH$^{corr}$ P$^1$JVUK$^{dlu}$, K$^m$ ex corr. ποιήσασ WR  18 ἀγαθὸσ καὶ ἀληθινὸσ U  ψυχὴν ἑαυτοῦ BWR, K$^m$ ex corr. ψυχὴν αὐτοῦ K$^u$ ψυχὴν τὴν ἑαυτοῦ M$^1$P$^1$K$^{dl}$ θεὶσ post ἑαυτοῦ coll. HX  19 τῶν$^2$ om. SM$^1$BHXWK$^{lu}$  αὐτοῦ BK$^u$  καὶ om. BTim.$^1$ 20 βεβούληται BP$^1$RK$^d$ βεβούλευται MPSNK$^m$, corr. M  21 ὑποστρέψαντασ δὲ M$^1$B ἐπιστρέφοντασ δὲ SHXP$^1$WRK$^d$ δὲ ἐπιστρέψαντασ K$^{lu}$  ὁ om. HX  τῆ συμπαθεία HX  μηδαμῶσ ὁ — συμπαθείασ οἶκτοσ VU  οἶκτοσ μηδαμῶσ NZK$^{lu}$  22 τότε om. W  23 ὅταν V  ἡ om. HX καταδικάζηται HXP$^1$JRVK, corr. J

24—p. 20, 5 om. M$^1$P$^1$NJRVUZK$^{dm}$  24—p. 20, 4 om. MPS  24 δὲ καὶ K$^{lu}$  τὸ] τῶν X εὐσεβῶσ] ἀκριβῶσ K$^{lu}$  ἀνυσθῆναι K$^{lu}$  25 ῥεννάτον BW μενάτον X  26 μου Ἵλαρον] μάλλαρον K$^{lu}$  Ἱλάριον BH$^{corr}$WTim.$^1$ Ἱλαρίωνα X  ἀπεστείλαμεν H ἀπεσταλμένον X

τὸν ἡμέτερον, οὗ τὴν πίστιν ἐδοκιμάσαμεν, συνεζεύξαμεν, θαρροῦντες τὴν τοῦ θεοῦ παρεσομένην βοήθειαν ὥστε τὸν πλανηθέντα καταδικασθείσης τῆς σκαιότητος τοῦ φρονήματος τοῦ οἰκείου σωθῆναι.

Ὁ θεὸς ἐρρωμένον σε διαφυλάττοι, ἀδελφὲ προσφιλέστατε.

d. 13. m. Iun. a. 449 Ἐδόθη Εἰδοῖς Ἰουνίαις Ἀστυρίου καὶ Πρωτογένους τῶν λαμπροτάτων ὑπάτων

L IIII 358 M VI 961 Ὁμοίως μαρτυρίαι ἁγίων πατέρων καὶ ὁμολογητῶν

1 Τοῦ ἁγίου Ἱλαρίου ἐπισκόπου καὶ ὁμολογητοῦ ἐν τῶι περὶ πίστεως θ λόγωι

de trin. 9, 3 Οὐκ οἶδεν, οὐκ οἶδεν ὄντως τὴν ἑαυτοῦ ζωὴν ὃς Ἰησοῦν τὸν Χριστὸν ὡς ἀληθῆ θεόν, οὕτως καὶ ἀληθῆ ἄνθρωπον οὐκ ἐπίσταται. τοῦ γὰρ αὐτοῦ κινδύνου τὸ πρᾶγμα τυγχάνει, ἐὰν Χριστὸν Ἰησοῦν ἢ πνεῦμα θεοῦ ἢ σάρκα τοῦ ἡμετέρου ἀρνησώμεθα σώματος.

Mt. 10, 32. 33 ἅπας τοιγαροῦν ὃς ἂν ὁμολογήσηι με ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ὁμολογήσω αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς· ὃς δ' ἂν ἀπαρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ἀρνήσομαι αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ταῦτα ὁ λόγος σὰρξ γενόμενος ἔλεγεν καὶ ἄνθρωπος Ἰησοῦς Χριστὸς ὁ κύριος τῆς δόξης ἐδίδασκεν, πρὸς τὴν τῆς ἐκκλησίας σωτηρίαν μεσίτης αὐτὸς ὑπάρχων ἐν ἑαυτῶι, ⟨αὐτῶι⟩ τούτωι τῶι μυστηρίωι δι' οὗπερ θεῶι καὶ ἀνθρώποις ἐμεσίτευσεν, εἷς τυγχάνων τὸ συναμφότερον, ἐκ τῶν ἑνωθεισῶν εἰς τὸ αὐτὸ τοῦτο δὴ φύσεων ἓν καὶ ταὐτὸ δι' ἑκατέρας φύσεως ὤν, πλὴν οὕτως ὡς ἐν ἑκατέρωι μηδετέρου χηρεύειν, μή πως παύσηται θεὸς εἶναι τικτόμενος ἄνθρωπος ἢ πάλιν ἄνθρωπος οὐκ ἦι τῶι διαμένειν θεός. οὐκοῦν τοῦτο τῆς ἐν ἀνθρώποις ἀληθοῦς πίστεως τὸ μακάριον τὸ τὸν μὲν θεὸν καὶ ἄνθρωπον κηρύττειν, τὴν δὲ σάρκα καὶ λόγον ὁμολογεῖν καὶ τόν τε θεὸν εἰδέναι ὅτι καὶ ἄνθρωπος εἴη, καὶ τὴν σάρκα μὴ ἀγνοεῖν ὅτι καὶ λόγος ἐστίν.

L IIII 359 2 Ὁμοίως τοῦ αὐτοῦ ἐν τῶι αὐτῶι λόγωι

de trin. 9. 5—7 Ἐκ παρθένου τοίνυν τεχθεὶς ἄνθρωπος ὁ μονογενὴς θεὸς καὶ κατὰ τὴν συμπλήρωσιν τοῦ καιροῦ μέλλων αὐτὸς ἐν ἑαυτῶι τὴν τοῦ ἀνθρώπου προκοπὴν εἰς θεὸν ἀπεργάζεσθαι, ταύτην τὴν τάξιν ἐν ἅπασιν τοῖς εὐαγγελικοῖς λόγοις ἐφύλαξεν, ἵνα ἑαυτὸν καὶ υἱὸν εἶναι θεοῦ διδάξηι πιστεύεσθαι καὶ ἀνθρώπου υἱὸν ὑπομνήσηι κηρύττεσθαι, τῶι μὲν ἄνθρωπος εἶναι λαλῶν ἅπαντα καὶ πράττων ἅπερ ἐστὶν θεοῦ, αὖθις δὲ καὶ τῶι θεὸς ὑπάρχειν λαλῶν τε ἅπαντα καὶ πράττων ἅπερ ἐστὶν ἀνθρώπου, οὕτω μέντοι ὥστε

---

Hanc testimoniorum collectionem a Leone ei tomi exemplari adnexam esse quod mense Iulio a. 450 Constantinopolim misit, ex epp. 30. 31. 45 recte concluserunt Ballerini. eandem collectionem, sed auctam repetiit Leo in appendice ep. 104 [Λ]

1—3 interpolata sunt in collectionem Theodoreti eran. 2, 162—165 [$T^{i}$]

1. 2 = ep. 104, 2. 3

---

MSP [praeter 1—4], BHXW, K [= lu], Tim.[1]

p. 19, 26/1 τὸν ἡμῶν [ἐμὸν $HK^{lu}$] νοτάριον $HXK^{lu}$ ὢν καὶ $K^{lu}$ θαρροῦντεσ] τοιγαροῦν καὶ [καὶ om. X] HX τὴν] τουτέστι X τοῦ θεοῦ] θείαν $K^{lu}$ 1/2 παρεπομένην X 2/3 καταδικασθείσης — οἰκείου om. $K^{lu}$ 2 καταδικασθείσησ τῆσ φαυλότητοσ HX καταδικάσαντα τὴν σκαιότητα BW 4 ὁ θεός — προσφιλέστατε om. B Tim.[1] post 5 coll. HX διαφυλάξει $K^{lu}$ θεωφιλέστατε $K^{lu}$ 5 om. $WK^{lu}$ Tim.[1] ἀστυρίου HX ἀστερίου MPS ὑπατείασ ἀστερίου B πρωτογόνουσ HX πρωτογόνου $H^{corr}$

MPS

6 μαρτυρία P μαρτυρία τῶν S 7 ἐννάτω P 9 οὕτως $ΛT^{i}$ ὄντωσ MPS 10 θεὸν $ΛT^{i}$ ἀρνησόμεθα M 16 αὐτῶι addidi ex Λ 18 ταυτὸν PS 20 ἦι Λ εἰ PS ἐν M 22 λόγω S τόν τε P τότε MS 25 τοίνυν om. S καὶ om. S 26 ὁ αὐτὸσ M 28 ὑπομιμνήσει S 29 καὶ[2] om. S τῶ P τὸ MS 30 τε om. S